θηκτὸν δ᾿ ἐν προβολᾷ θεμένα ξίφος εἶπεν, ὀδόντα
  ὀξὺν ἐπιβρύκουσ᾿ οἷα Λάκαινα γυνά,
"ἔρρε κακὸν φίτυμα διὰ σκότος, οὗ διὰ μῖσος
  Εὐρώτας δειλαῖς μηδ᾿ ἐλάφοισι ῥέοι·
ἀχρεῖον σκυλάκευμα, κακὰ μερίς, ἔρρε ποθ᾿ Ἅιδαν,
  ἔρρε· τὸ μὴ Σπάρτας ἄξιον οὐδ᾿ ἔτεκον."

## VII

πάντα πριηπίζω, κἂν ᾖ Κρόνος· οὐ διακρίνω
  οὐδένα φῶρ᾿ οὕτω ταῖσδε παρὰ πρασιαῖς.
ἔπρεπε μὴ λαχάνων ⟨ἕνεκεν⟩ τάδε καὶ κολοκυνθῶν,
  φήσει τις, με λέγειν. ἔπρεπεν, ἀλλὰ λέγω.

# ANONYMA

## A. E CORONA MELEAGRI

## I

οὐκέτ᾿ ἐρῶ. πεπάλαικα πόθοις τρισίν· εἷς μὲν ἑταίρης,
  εἷς δέ με παρθενικῆς, εἷς δέ μ᾿ ἔκαυσε νέου,
καὶ κατὰ πᾶν ἤλγηκα. γεγύμνασμαι μὲν ἑταίρης
  πείθων τὰς ἐχθρὰς οὐδὲν ἔχοντι θύρας·
ἔστρωμαι δὲ κόρης ἐπὶ παστάδος αἰὲν ἄυπνος,
  ἕν τι ποθεινότατον παιδὶ φίλημα διδούς·
οἴμοι, πῶς εἴπω πῦρ τὸ τρίτον; ἐκ γὰρ ἐκείνου
  βλέμματα καὶ κενεὰς ἐλπίδας οἶδα μόνον.